## LVIII (8)

μικρή τις, Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις· ὁ μὲν "νικῶ" φησὶ τὸ μακρότατον.
ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται
"πῶς ἔβαλες;", φησὶ "σκληρὰ τὰ γιγνόμενα."
τῷ μερμηρίξαντι τὰ μὴ ἔνδικα τοῦτο γένοιτο
τοὖπος, ἐμοὶ δ', ὦναξ, ἡ βραχυσυλλαβίη.

## LIX (59)

εὐδαίμων ὅτι τἆλλα μανεὶς ὡρχαῖος Ὀρέστας,
Λεύκαρε, τὰν ἀμὰν οὐκ ἐμάνη μανίαν,
οὐδ' ἔλαβ' ἐξέτασιν τῶ Φωκέος, ἅτις ἐλέγχει
τὸν φίλον· ἀλλ' αἴ χ' ἓν δρᾶμ' ἐδίδαξε μόνον,
ἦ τάχα κα τὸν ἑταῖρον ἀπώλεσε. τοῦτο ποήσας
κἠγὼ τοὺς πολλοὺς οὐκέτ' ἔχω Πυλάδας.

## LX (24)

ἥρως Ἠετίωνος ἐπίσταθμος Ἀμφιπολίτεω
ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ,
λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος· ἀνέρι δ' ἱππεῖ
θυμωθεὶς πεζὸν κἀμὲ παρῳκίσατο.

## LXI (62)

Κυνθιάδες, θαρσεῖτε· τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα
κεῖται ἐν Ὀρτυγίῃ τόξα παρ' Ἀρτέμιδι,